Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: fsm-ch

*Δημοσθένης ὁ Ἀθηναῖος* · Demosthenes of Athens

# Fragments of Demosthenic Orations

*Ἀποσπάσματα τῶν Δημοσθενικῶν Λόγων*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic
**Domain:** *Ῥητορική* Oratory
**Format:** *Λόγος* Oration

1 frr. 1–13 ΠΡΟΣ ΑΛΚΙΜΑΧΟΝ.

Frag 1b t ΠΕΡΙ ΤΟΥ ΜΗ ΕΚΔΟΥΝΑΙ ΑΡΠΑΛΟΝ, εἰ γνήσιος. εἰ μέντοι ἔνιοι ψευδεπίγραφοί εἰσι λόγοι ἀηδεῖς καὶ φορτικαὶ καὶ ἄγροικοι κατασκευαί, ὡς ἐν τῇ κατ’ Ἀριστογείτονος β′, καὶ ἐν τῇ ἀπολογίᾳ τῶν δώρων, καὶ ἐν τῷ μὴ ἐκδοῦναι Ἅρπαλον, καὶ ἐν τῷ κατὰ Νεαίρας, καὶ ἐν τῷ περὶ τῶν πρὸς Ἀλέξανδρον συνθηκῶν, ἐν ἄλλοις τε συχνοῖς, οὓς ὁ Δημοσθένης οὐκ ἔγραψεν, ἐν ἑτέρᾳ δηλοῦταί μοι πραγματείᾳ.

Frag 1b 1 Dionysius 6 p. 1126, 11 R. ΚΑΤΑ ΔΗΜΑΔΟΥ.

Frag 2 1 ἄγειν · —Δημοσθένης δὲ τὸ ἄγειν ἐν τῷ κατὰ Τιμοκράτους τὸ τίμημα λέγει ἢ τὴν ποσότητα τῆς ὁλκῆς, φάσκων· καὶ τὸν ἀκινάκην τὸν Μαρδονίο υ , ὃς ἦγε τριακοσίους δαρεικού ς . κατὰ Δημάδου· ἦγε δὲ πέντε μνᾶ ς . Bekk. anecd. p. 335, 27. (Bachm. an. p. 20, 21). ΥΠΕΡ ΔΙΦΙΛΟΥ.

Frag 3 1 Διφίλῳ δημηγορικός, αἰτοῦντι δωρεάς· Διὰ τὸ μὴ ῥᾴδιον εἶνα ι . τοῦτον ἐπείσθην ὑπὸ Δημοσθένους γεγράφθαι τὸν λόγον, ὅτι τὰς δωρεὰς ἔγραψεν αὐτῷ Δημοσθένης, ὡς Δείναρχος ἐν τῷ κατὰ Δημοσθένους λόγῳ δεδήλωκε, καὶ ὅτι ἐπὶ τέλει τοῦ λόγου ὁ Δίφιλος Δημοσθένην παρακαλεῖ συνήγορον. ἀπίθανον δὲ οἶμαι εἶναι τὰς μὲν τιμὰς οὕτω γράφειν εὐνοοῦντα τῷ Διφίλῳ τὸν Δημοσθένην, λόγον δὲ παρὰ Δεινάρχου λαβόντα περιιδεῖν. Dionysius 5 p. 659, 1 R. ΑΠΟΛΟΓΙΑ ΔΩΡΩΝ, εἰ γνήσιος ὁ λόγος.

Frag 4 1 Non genuinam orationem Dionysio visam esse supra vidimus: cf. frg. 1. neque adversantur ea, quae vol. 6 p. 749 dicit: εἰ δέ τις ἐρεῖ, ὅτι περὶ τῆς τῶν δώρων, ἣν ἐπ’ Ἀντικλέους (immo Ἡγησίου: cf. Westerm. qu. dem. 3 p. 113) ἄρχοντος ἀπελογήσατο, περὶ τὴν Ἀλεξάνδρου τελευτήν, πολλῷ νεωτέρας ἔτι ποιήσει τὰς Ἀριστοτέλους τέχνας τῶν Δημοσθένους ἀγώνων. Neque enim hic de oratione aliqua Demosthenis edita commemorat, sed de causa, quam Demosthenem orasse nemo negavit. Dubitari non potest, quin haec oratio ea sit, quam Athenaeus περὶ χρυσίου dictam esse tradidit. is 13 p. 592. E haec narrat: Δημοσθένη δὲ τὸν ῥήτορα καὶ τεκνοποιήσασθαι ἐξ ἑταίρας ἔχει λόγος. αὐτὸς γοῦν ἐν τῷ περὶ χρυσίου λόγῳ προαγήοχε τὰ τέκνα ἐπὶ τὸ δικαστήριον, ὡς δι’ ἐκείνων ἔλεον ἕξων, χωρὶς τῆς μητρός, καίτοι ἔθος ἐχόντων τῶν κρινομένων τὰς γυναῖκας ἐπάγεσθαι· ἀλλ’ αἰδοῖ τοῦτ’ ἐποίησε, φεύγων τὴν διαβολήν. Mihi haec ipsa quae Athenaeus narrat declamatoris ingenium prodere videntur. Ad eandem declamationem videtur Pausaniae testimonium pertinere, 2. 33 §. 3: εἴρηται μὲν οὖν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περὶ αὐτοῦ καὶ ἄλλοις καὶ αὐτῷ Δημοσθένει πλεῖστα, ἦ μὴν τῶν χρημάτων ἃ ἐκ τῆς Ἀσίας ἤγαγεν Ἅρπαλος μὴ μεταλαβεῖν αὐτόν. ΜΕΤ’ ΕΛΑΤΕΙΑΣ ΑΛΩΣΙΝ.

Frag 6 t ΠΡΟΣ ΚΡΙΤΙΑΝ, περὶ τοῦ ἐνεπισκήμματος, εἰ γνήσιος. ἐνεπίσκημμα καὶ ἐνεπισκήψασθαι · Δημοσθένης ἐν τῷ κατὰ Τιμοθέου.

Frag 6 1 ὁπότε δημευθείη τινὸς ἡ οὐσία, ἐξῆν προσελθόντι τῷ φάσκοντι δανειστῇ γεγονέναι τούτου τοῦ ἀνδρὸς λέγειν ὅτι ἐνοφείλεται αὐτῷ χρέος ἐν τῇ οὐσίᾳ. ἔστι δὲ καὶ λόγος τις ἐπιγραφόμενος „Δημοσθένους πρὸς Κριτίαν περὶ τοῦ ἐνεπισκήμματοσ“, ὃν Καλλίμαχος μὲν ἀναγράφει ὡς γνήσιον, Διονύσιος δὲ ὁ Ἁλικαρνασεὺς ὡς ψευδεπίγραφον. Harpocrat. ΚΑΤΑ ΜΕΔΟΝΤΟΣ.

Frag 7 1 Δημοσθένης δὲ ἐν τῷ κατὰ Μέδοντος καὶ κατὰ τῶν μὴ προσηκόντως τῇ ἐπικλήρῳ συνοικούντων γίνεσθαι τὰς εἰσαγγελίας λέγει. Pollux 8 §. 53. Δημοσθένους δ’ ἐν τῷ κατὰ Μέδοντος περί τινος παρθένου λέγοντος οὕτως· οὐ δεκατεῦσαι ταύτην οὐδὲ μυῆσα ι , Δίδυμος ὁ γραμματικὸς περὶ τούτου βιβλίον γράψας φησὶν ὅτι τὸ δεκατεῦσαι Λυσίας ἐν τῷ περὶ τῆς Φρυνίχου θυγατρὸς ἀρκτεῦσαι εἴρηκεν.

Frag 7 2 —— ἴσως δὲ τὸ ἀρκτεῦσαι δεκατεῦσαι εἴρηκεν ὁ ῥήτωρ, ἐπειδὴ αἱ δεκετίδες ἤρκτευον. Harpocrat. p. 54, 3. cf. Lysiae frg. 250. ΜΕΣΣΗΝΙΑΚΟΣ.

Frag 9 t ΠΑΥΣΑΝΙΟΥ ΕΓΚΩΜΙΟΝ, εἰ γνήσιον. πανηγυρικοὺς μὲν οὖν λόγους οὐκ ἔχομεν αὐτοῦ παρασχέσθαι· πάντας γὰρ ἔγωγε τοὺς ἀναφερομένους εἰς αὐτὸν ἀλλοτρίους εἶναι πείθομαι καὶ οὐδὲ κατὰ μικρὸν ἔχοντας τὸν ἐκείνου χαρακτῆρα· —ὧν ἐστιν ὅ τε φορτικὸς καὶ κενὸς καὶ παιδαριώδης ἐπιτάφιος καὶ τὸ τοῦ σοφιστικοῦ λήρου μεστὸν ἐγκώμιον εἰς Παυσανίαν.

Frag 9 1 Dionys. 6 p. 1094, 17 R. ΠΡΟΣ ΠΟΛΥΕΥΚΤΟΝ.

Frag 10 1 δικάσιμον · Δημοσθένης πρὸς Πολύευκτον παραγραφῇ. Bekk. anecd. p. 90, 28. De compluribus hominibus, quibus illa aetate Polyeuctis nomen fuit, exposuit Boehneckius quaestt. de oratt. atticis p. 643 sq. ΥΠΕΡ ΤΩΝ ΡΗΤΟΡΩΝ.

Frag 11 1 ἅμα · δοτικῇ. Δημοσθένης ἐπὶ τοῦ εὐθέως καὶ παραχρῆμα ἔταξε. καὶ ἐν τῷ ὑπὲρ τῶν ῥητόρων λόγῳ εἰπών· οὐ γὰρ ὁ θάνατος τοῖς εὖ φρονοῦσιν οἰκτρός · τοῦτο γὰρ ἅμα τῷ γενέσθαι πάντων κατέγνωστα ι . Suidas 1, 1 p. 255 Bernh. cf. Antiphontis frg. 71. Ὅτε καὶ τὸν περὶ τῶν προβάτων λόγον ὁ Δημοσθένης, ὡς τοῖς λύκοις τοὺς κύνας ἐξέδωκε, διηγησάμενος αὑτὸν μὲν εἴκασε καὶ τοὺς σὺν αὑτῷ κυσὶν ὑπὲρ τοῦ δήμου μαχομένοις, Ἀλέξανδρον δὲ τὸν Μακεδόνα μονόλυκον προσηγόρευσεν.

Frag 11 2 Ἔτι δ’ ὥσπερ ἔφη τοὺς ἐμπόρους ὁρῶμε ν , ὅταν ἐν τρυβλίῳ δεῖγμα περιφέρωσ ι , δ ι ’ ὀλίγων πυρῶν τοὺς πολλοὺς πιπράσκοντα ς , οὕτως ἐν ἡμῖν λανθάνετε πάντας αὑτοὺς συνεκδιδόντε ς . Ταῦτα μὲν οὖν Ἀριστόβουλος ὁ Κασσανδρεὺς ἱστόρηκε. Plutarch. vit. Demosth. c. 23. ΥΠΕΡ ΣΑΤΥΡΟΥ ΕΠΙΤΡΟΠΙΚΟΣ, εἰ γνήσιος.

Frag 12 1 καὶ τὸν ὑπὲρ Σατύρου δὲ λόγον τῆς ἐπιτροπῆς πρὸς Χαρίδημον οἱ μὲν πρὸς τὴν κρίσιν ἔχοντες τὸ ἀσφαλὲς Δημοσθένους λέγουσιν εἶναι, ὁ δὲ Καλλίμαχος, οὐδ’ ἱκανὸς ὢν κρίνειν, Δεινάρχου νομίζει. Photius bibl. p. 491 b 29 Bk. ΠΕΡΙ ΧΡΥΣΙΟΥ.

Frag 13 t ΑΠΑΡΑΣΗΜΑ. ὑπὲρ ὄνου σκιᾶ ς .

Frag 13 1 λέγουσιν ὅτι Δημοσθένης ὁ ῥήτωρ ἀπολογούμενος ὑπέρ τινος κινδυνεύοντος οὐκ ἀνεχομένων τῶν δικαστῶν εἶπεν· Ἀκούσατ ε , ὦ ἄνδρε ς , διηγήματος τερπνο ῦ . νεανίσκος ποτὲ Ἀθήνηθεν εἰς Δελφοὺς ὄνον ἐμισθώσατ ο . μεσημβρίας δὲ καταλαβούσης καταλύσας τὸν γόμον ὑπέδυ τὴν σκιὰν τοῦ ὄνο υ . ἐκβαλλόμενος δὲ ὑπὸ τοῦ ὀνηλάτο υ , μὴ καὶ τὴν σκιὰν μεμισθῶσθαι λέγοντο ς , εἰσῆλθον εἰς δικαστήριον ἀμφότερο ι . εἰπὼν δὲ ταῦτα ὁ Δημοσθένης κατέβαινεν ἐκ τοῦ βήματος. ἀξιούντων δὲ τῶν δικαστῶν τὸ τέλος τῆς δίκης μαθεῖν εἶπεν ἀναβὰς πάλιν ἐπὶ τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βήματος· Ὑπὲρ μὲν ὄνου σκιᾶς ἀκούει ν , ὦ ἄνδρε ς , ἐπιθυμεῖτ ε , ἀνθρώπου δὲ κινδυνεύοντος ὑπὲρ ψυχῆς οὐδὲ φωνῆς ἀνέχεσθ ε ; οὕτω καθαψάμενος τῶν κριτῶν τὸν κατηγορούμενον περιέσωσε. τάττεται τοίνυν ἡ παροιμία ἐπὶ τῶν ὑπὲρ μηδενὸς χρησίμου φιλοτιμουμένων. Suid. 2, 2 p. 1339 Bernh. cf. 2, 1 p. 1132. Photius lex. p. 338, 15. Zenobius proverb. 6, 28 (ubi alios paroemiographorum locos Schneidewinus collegit p. 169 sq.). Schol. Aristoph. Vesp. 191. Schol. Platon. p. 317 Bk. qui fabellam ex Aristidis libris de proverbiis (de quibus Schneidewin. I. d. p. XII exposuit) variis artis rhetoricae lenociniis ornatam exhibuit. Biographus decem oratt. p. 848. A et Photius biblioth. p. 494 a 15. ἄλλου γένους ἁψώμεθα τὸν αὐτὸν ἡγούμενοι (I.

Frag 13 2 αἱρούμενοι) σοφιστήν (Hegesiam)· „δεινὸν τὴν χώραν ἄσπορον εἶναι τὴν τοὺς σπαρτοὺς τεκοῦσαν.“ ἀλλ’ οὐχ οὕτως ὁ Δημοσθένης, οὗ τὴν γνώμην οὗτος ἐπὶ τὸ χεῖρον μετέθηκε· γράφει δὲ δεινὸν μηλόβοτον γενέσθαι τὴν Ἀττική ν , ἣ πρώτη τοῖς ἄλλοις ἐξήνεγκε τὸν ἥμερον καρπό ν . Agatharchides in Photii bibl. p. 446 b 25. ἀλλὰ γὰρ ὁ Δημοσθένης, φησί (Agatharchides), μετενέγκας τοὺς λόγους ἐπὶ τὸν Ἀλέξανδρον οὕτω δεδήλωκε· τὴν μὲν πόλιν ἐξώρυξεν ἐκ τῶν θεμελίω ν , ὥστε μηδὲ ἐπὶ ταῖς ἑστίαις καταλιπεῖν τὴν τέφρα ν , παῖδας δὲ καὶ γυναῖκας τῶν ἡγησαμένων τῆς Ἑλλάδος ἐπὶ τὰς σκηνὰς τῶν βαρβάρων διένειμ ε .

Frag 13 3 Agatharchides in Photii bibl. p. 447 a 29. Οὕτω Δημοσθένης φησὶν ὡς τῶν ἀγαθῶν ἀνδρῶν ὥσπερ εἱμαρμένον εἴη φαύλους ἀποβαίνειν τοὺς υἱεῖ ς .

Frag 13 4 Schol. Aristidis p. 198 Fromm. 530 Ddf. cum Aristides 2 p. 214 Ddf. de Cimone haec dixerit: οὐδὲ δίδωσι χώραν τῇ βλασφημίᾳ, ὡς ἄρα τῶν καλῶν καὶ ἀγαθῶν ἀνδρῶν ὥσπερ εἱμαρμένον εἴη τοὺς υἱεῖς φαύλους ἀποβαίνειν. ἄξιο ν .

Frag 13 5 οἱ ῥήτορες ἐπὶ τοῦ εὐλόγου καὶ δικαίου ἐκλαμβάνουσι. Δημοσθένης· διὰ γὰρ τοῦτο μάλιστα ἄξιόν ἐστι σιωπᾷ ν , ὅ τ ’ οὔ τ ’ ἐστὶν ὁ καταπλήσσων οὔ θ ’ ὁ κολάσων ἡμᾶ ς . Suidas 1, 1 p. 506. ὁ μὲν Δημοσθένης ἦθος ἐμφῆναι βουλόμενος τί φησι; πάνυ τοίνυν προσῆκον ἂν εἴη τοιοῦτον περὶ πλείστου ποιεῖσθαι ὑμᾶς καὶ ἄνδρα εὐεργέτην δικαίως ὀνομάζει ν .

Frag 13 6 Aristides 9 p. 427 Walz. ἄντικρυς ἀντὶ τοῦ φανερῶς.

Frag 13 7 Δημοσθένης· καὶ ἄντικρυς ἦν τοῖς ὁμοφύλοις ἐχθρό ς . Harpocrationis cod. K ad p. 23, 12 Bk. sed Voemelius collato scholio platonico p. 323 Bk.: παρὰ Δημοσθένει δὲ ἐν τῷ κατὰ Ἀριστοκράτους (immo 19 §. 154) ἀντὶ τοῦ φανερῶς. non sine causa videtur existimare post v. Δημοσθένης aliquid excidisse, ut verba καὶ ἄντικρυς—ἐχθρός non sint Demosthenis. Δημοσθένης· καὶ εἰς τὴν βουλὴν τοὺς πεντακοσίους ἀπαντήσα ς , ἀντὶ τοῦ ἀφικόμενος.

Frag 13 8 Grammaticus G. Hermanni de emend. rat. gr. gr. p. 357. G. Lecapenus in Matthaei lectt. mosqu. 1 p. 56. ἀπέχω καὶ τὸ ἀπολαβὼν ἔχω, συντασσόμενον αἰτιατικῇ.

Frag 13 9 —ὡς Δημοσθένης· Θηβαῖοι μὲν ἀπέχουσι τὰ οἰκεῖ α , Φωκεῖς δὲ ἅπαντα ἀπολωλέκασ ι . Cod. paris. reg. apud F. Osannum ad Philem. p. 267. ἐνοχλῶ : δοτικῇ.

Frag 13 10 Δημοσθένης· οὐκ ἂν ἠνώχλει νῦν ἡμῖν ὁ Φίλιππος τότε σωθεί ς . ὁ αὐτὸς καὶ πρὸς αἰτιατικήν· μηδέ γε ἐγκαλεῖν ἀξιοῦτε μηδέ ν , ἐμὲ δὲ ἐνοχλεῖτ ε . Bekk. anecd. p. 135, 26. κατάγω τὸ εἰς τὸν λιμένα ναῦν ἐνορμίζω, ὡς καὶ Δημοσθένης.

Frag 13 11 καὶ ἐπὶ Θετταλίαν τὰς ναῦς κατάγοντες ἐνέτυχον Ἀνδροκλε ῖ . Hermanni de emend. rat. gr. gr. p. 260. Lexicon paris. apud F. Osann. ad Philem. p. 224. Varinus lexic. p. 998, 13. καὶ Δημοσθένης δὲ κωφὸν καὶ φαλακρόν που λέγει, ὡς τοῦτον ὄντως ἔγραψεν ὁ Λύσιππος ἐκεῖνος.

Frag 13 12 Ioannes Tzetz. Chil. 10, 289. Scil. τὸν χρόνον. λυμαίνομαι · αἰτιατικῇ.

Frag 13 13

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρώτῳ Φιλιππικῶν· ἔστι τοίνυν πρᾶγμα καὶ ἄλλ ο , ὃ λυμαίνεται τὴν πόλι ν , ὑπὸ βλασφημίας ἀδίκου καὶ λόγων οὐ προσηκόντων διαβεβλημένο ν . Bekk. anecd. p. 154, 23. μέμφομαι · αἰτιατικῇ.

Frag 13 14 τρίτῳ Ὀλυνθιακῷ (3 §. 36)· ——ὑποκατιὼν δὲ πρὸς δοτικήν· οὐ λέγεις κακῶς τοὺς τετελευτηκότας τῶν εὐεργετῶ ν , τῷ δεῖνι μεμφόμενο ς . Bekk. anecd. p. 156, 5. καὶ παρὰ Δημοσθένει· μετέχοντες τὴν αὐτὴν δόξαν τοῖς Λακεδαιμονίοι ς .

Frag 13 15 Grammat. Hermanni de emend. rat. gr. gr. p. 371. Lexicon paris. apud F. Osannum ad Philem. p. 253. καὶ ὁ Δημοσθένης· τὸν δῆμο ν , ὅτι ὅμοιός ἐστι τοῖς ἐν τοῖς πλοίοις ναυτιῶσι ν .

Frag 13 16 Aristot. rhet. 3, 4 p. 1407 a 5 Bk. Vetus interpres p. 56 a 39 haec habet: ὥσπερ γὰρ οἱ ἐν τῷ πλοίῳ ὄντες ὑπὸ τοῦ σάλου καὶ τῶν κυμάτων ταρασσόμενοι ναυτιῶσι καὶ ἀηδῶς ἀφορῶσι πρὸς τὴν θάλασσαν, οὕτω καὶ ὁ δῆμος ναυτιᾷ καὶ ἰλιγγιᾷ ἀφορῶν πρὸς τὰ πράγματα. καὶ τοῖς συναντῶσιν ἐρωτώμενοι ἐπὶ δεῖπνον ἔφασκον κληθῆνα ι .

Frag 13 17 Pollux 6 §. 8. Bekkerus primus haec verba addidit, praecedit Demosthenis locus or. 19 §. 196. ὑπερέχειν —αἰτιατικῇ δέ, ὡς Δημοσθένης· ὑπερεῖχε δ ’ ἐκείνους τῇ ῥώμῃ μὲν οὐδαμῶ ς .

Frag 13 18 Grammat. Hermanni de emend. rat. gr. gr. p. 362. cf. F. Osann. ad Philem. p. 254. λανθάνει δέ πως τὴν ἀκοὴν ἐμπίπτων μέσον τοῦ πεζοῦ στίχος, ὡς καὶ παρὰ Δημοσθένει εὑρίσκεται, ὡς ἐν τῷ· καὶ μή με Καλλισθένης ἐν κενοῖς πλαν ᾷ .

Frag 13 19 καὶ αὖθις· ἤνεγκεν ᾠδὴν Ἀφαρεὺς ἐνόπλιο ν . καὶ ἀλλαχοῦ· τίς οὗτος ὃς κυκᾷ πᾶν λοιδορίαι ς ; Castor Walzii 3 p. 713. Δημοσθένου ς .

Frag 13 20 Ἄξιον τούτους ἐπαινεῖν τῶν ἀνθρώπων, οἳ μηδεμίαν ὠφέλειαν προαιροῦνται τοῦ δικαίου. Χρήματα μὲν γὰρ ἔστι κτήσασθαι, δόξαν δὲ χρημάτων οὐ ῥᾴδιον πρίασθαι. Ioannes Stob. Floril. 9, 29. Δημοσθένου ς .

Frag 13 21 Οὐδὲν ἂν εἴη τοῖς ἐλευθέροις μεῖζον ἀτύχημα τοῦ στέρεσθαι τῆς παρρησίας. Ioannes Stob. Floril. 13, 17. Δημοσθένου ς .

Frag 13 22 Διαβολὴ καιρῷ μὲν ἰσχυρὰν ἀπεργάζεται τοῖς ἀκούουσι τὴν ὑπόληψιν, χρόνῳ δὲ πάντων ἀσθενεστέρα γίνεται. Ioannes Stob. Floril. 42, 8. Ἐκ τῶν Ἀριστοτέλους Χρειῶν.

Frag 13 23 Δημοσθένης ὁ ῥήτωρ ἔφη πόλεως εἶναι τὴν ψυχὴν τοὺς νόμους· ὥσπερ γὰρ τὸ σῶμα στερηθὲν ψυχῆς πίπτει, οὕτω καὶ πόλις μὴ ὄντων νόμων καταλύεται. Ioannes Stob. Floril. 43, 140. Maximus Conf. aphorism. p. 207 tur. Δημοσθένου ς .

Frag 13 24 Δημοσθένης εἶπε· πάντων ἐστὶ δυσχερέστατον τὸ πολλοῖς ἀρέσκειν. Ioannes Stob. Floril. 45, 22. Τοῦ αὐτο ῦ .

Frag 13 25 Δημοσθένης δυοῖν ἔφησεν οὔσαιν ὁδοῖν, τῆς μὲν ἐπὶ τὸ βῆμα, τῆς δὲ εἰς ᾄδου, μᾶλλον ἂν ἑλέσθαι τὴν εἰς ᾄδου τὸν εὖ φρονοῦντα. ibid. 45, 23. cf. Plutarch. Demosth. c. 26. Δημοσθένους.

Frag 13 26 Πόλεμος ἔνδοξος εἰρήνης αἰσχρᾶς αἱρετώτερος. Ioannes Stob. Flor. 50, 10. Δημοσθένους.

Frag 13 27 Ὥσπερ οἶνος κιρνᾶται τοῖς τῶν πινόντων τρόποις, οὕτω καὶ φιλία τοῖς τῶν χρωμένων ἤθεσιν. Antonius Melissae p. 28 turic. Δημοσθένης τὴν μὲν ῥίζαν τῆς παιδείας ἔφη εἶναι πικράν, τοὺς δὲ καρποὺς γλυκεῖς.

Frag 13 28 Antonius Mel. p. 56 tur. Δημοσθένους.

Frag 13 29 Οἶμαι τὸ μέλλον ἅπασιν ἀνθρώποις ἄδηλον· καὶ μικροὶ καιροὶ μεγάλων πραγμάτων αἴτιοι γίνονται. διὸ δεῖ μετριάζειν ἐν ταῖς εὐπραξίαις καὶ προορωμένους τὸ μέλλον φαίνεσθαι. Antonius Mel. p. 64 tur. Δημοσθένους.

Frag 13 30

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Δεῖ τὸν εὖ φρονοῦντα τὸν λογισμὸν ἀεὶ τῶν ἐπιθυμιῶν κρείττω πειρᾶσθαι ποιεῖν. Maximus Conf. Aphorism. p. 167 tur. Δημοσθένους.

Frag 13 31 Δίκαιόν ἐστιν ἐλεεῖν οὐ τοὺς ἀδίκους τῶν ἀνθρώπων, ἀλλὰ τοὺς παρὰ λόγον δυστυχοῦντας. Maximus Conf. Aphorism. p. 173 tur. Δημοσθένους.

Frag 13 32 Ὥσπερ σωματικὸν πάθος οὐ κρυπτόμενον οὐδὲ ἐπαινούμενον ὑγιάζεται, οὕτως οὐδὲ ψυχὴ κακῶς φρουρουμένη θεραπεύεται. Maximus Conf. Aphorism. p. 190 tur. Δημοσθένους.

Frag 13 33 Οὔτε σῖτον ἄριστον τὸν ἐκ τοῦ καλλίστου πεδίου κρίνομεν, ἀλλὰ τὸν εὔθετον πρὸς τὴν τροφήν, οὔτε ἄνδρα σπουδαῖον ἢ φίλον εὔνουν τὸν ἐξ ἐπιφανοῦς ὄντα γένους, ἀλλὰ τὸν ὑπάρχοντα τῷ τρόπῳ κρείττονα. Maximus Conf. Aphorism. p. 210. tur. Δημοσθένους. [5]

Frag 13 34 Τοῦ πλείονος βίου καὶ φαυλοτέρου τὸν ἐλάσσω καὶ ἀμείνονα ὄντα παντὶ πάντως προαιρετέον. Maximus Conf. Aphorism. p. 213 tur. λέγεται δὲ τὸν μὲν Πυθέαν εἰπεῖν, ὅτι καθάπερ οἰκίαν, εἰς ἣν ὄνειον εἰσφέρεται γάλα, κακόν τι πάντως ἔχειν νομίζομεν, οὕτω καὶ πόλιν ἀνάγκη νοσεῖν, εἰς ἣν Ἀθηναίων πρεσβεία παραγίνεται· τὸν δὲ Δημοσθένην στρέψαι τὸ παράδειγμα φήσαντα, καὶ τὸ γάλα τὸ ὄνειον ἐφ’ ὑγιείᾳ καὶ τοὺς Ἀθηναίους ἐπὶ σωτηρίᾳ παραγίνεσθαι τῶν νοσούντων. [5]

Frag 13 35 Plutarchi Demosth. c. 27. αἷμα νίψαι · οὕτως ἔλεγον οἱ Ἀττικοὶ ἐπὶ τοῦ ἐκνίψαι φόνον, ὡς καὶ Δημοσθένης.

Frag 13 36 Bekk. anecd. p. 360, 28. οὐκ ἀνασχήσομα ι .

Frag 13 37 τινὲς τοῦτο ὡς ἔκφυλον νομίζουσιν· ἐχρήσατο δὲ αὐτῷ καὶ Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους. οὐ δεῖ οὖν μόνον λέγειν ἀνέξομα ι . Suidas 2, 1 p. 1208 Bernh. Schol. in Aristoph. Ach. 296 qui habet κατὰ Τιμοκράτους. Cf. Pierson. ad Moer. p. 26. ἀπορρηθὲν δὲ αὐτῷ Δημοσθένης εἶπε τὸ ἀπαγορευθέν. [5]

Frag 13 38 Pollux 2 §. 128. ἐκ δὲ τῶν σκευῶν καὶ γαλεάγρα · τὸ δὲ ὄνομα ἐν τοῖς ἐπιγραφομένοις Δημοσθένους πρὸς Ἀριστογείτονα.

Frag 13 39 Pollux 10 §. 155. καὶ Δημοσθένης φησὶν ἐξελευθερικοὺς νόμους καὶ ἀπελευθερικοὺς νόμου ς .

Frag 13 40 Pollux 3 §. 83. κακολογε ῖ , ὡς Δημοσθένης.

Frag 13 41 Pollux 2 §. 119. ὁλόσχοινος · ἡ σχοῖνος.

Frag 13 42 καὶ Δημοσθένης καὶ οἱ ἄλλοι. Photius lex. p. 329, 25. τάλαντον · πολλὰ μὲν σημαίνει· ἢ γὰρ τὸ μέγιστον χρυσίου καὶ ἀργυρίου μέρος· καθ’ ὃ σημαινόμενον Δημοσθένης φησὶ πεντηκονταταλαντί α .

Frag 13 43 Photius lex. p. 566, 5. Pollux 9 §. 52. ποία · —ἡ σμήχουσα.

Frag 13 44 cf. Lysias frg. 327. Ψυρία νησίδιόν ἐστιν ἀπέχον σταδίους ν′ τῆς Χίου.

Frag 13 45 ——μέμνηται Δημοσθένης. Schol. Homer. Odyss. p. 92 Buttm. αἰτήσας τε γραμματεῖον (Calaureae in templo Neptuni) ἔγραψεν, ὡς μὲν Δημήτριος ὁ Μάγνης φησί, τὸ ἐπὶ τῆς εἰκόνος αὐτοῦ ἐλεγεῖον ἐπιγεγραμμένον ὑπὸ τῶν Ἀθηναίων ὕστερον· Εἴπερ ἴσην ῥώμην γνώμῃ, Δημόσθενες, ἔσχες, οὔ ποτ’ ἂν Ἑλλήνων ἦρξεν Ἄρης Μακεδών. [5]

Frag 13 56 Vitae decem oratt. p. 847. A. Plutarch. Demosth. 30. Δημοσθένου ς .

Frag 13 57 Δημοσθένης ἔλεγεν, ὡς πολλάκις ἐπιὸν αὐτῷ εὔξασθαι τοὺς πονηροὺς ἀπολέσθαι φοβοῖτο μὴ ἔρημον ἄρδην ἐκ τῆς εὐχῆς ποιήσῃ τὴν πόλιν. Ioannes Stob. Floril. 2, 22. Δημοσθένου ς .

Frag 13 58 Δημοσθένης ὁ ῥήτωρ θεασάμενός τινα δημαγωγὸν ἀφυῆ μέγα βοῶντα ἔφη· Ἀλ λ ’ οὐ τὸ μέγα εὖ ἐστ ι , τὸ δὲ εὖ μέγ α . Ioannes Stob. Floril. 4, 51. Δημοσθένου ς .

Frag 13 59

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Δημοσθένης πρὸς κλέπτην εἰπόντα· Οὐκ ᾔδειν ὅτι σόν ἐστιν, Ὅτι δ έ , ἔφη, σὸν οὐκ ἔστιν ᾔδει ς . Ioannes Stob. Floril. 13, 32. Δημοσθένου ς .

Frag 13 60 Δημοσθένης λοιδορουμένου τινὸς αὐτῷ· Οὐ συγκαταβαίν ω , εἶπεν, εἰς ἀγῶν α , ἐν ᾧ ὁ ἡττώμενος τοῦ νικῶντός ἐστι κρείττω ν . Ioannes Stob. Floril. 19, 4. Δημοσθένης λέγων ποτὲ ἐπ' ἐκκλησίας καὶ Φωκίωνα ἰδὼν ἐρχόμενον εἶπεν· Ἡ τῶν ἐμῶν λόγων σφυρὰ καὶ κοπὶς ἔρχετα ι .

Frag 13 61 Οὕτως οὐ τοσοῦτον ὁ λόγος, ὅσον ὁ τρόπος πείθειν δύναται. Ioannes Stob. Floril. 37, 34. cf. Plut. Dem. c. 11. Phocion. c. 5. Moral. p. 803. E. καὶ κλέπτης δέ τις παρ' Ἀττικοῖς Χαλκοῦς ἐκαλεῖτο, εἰς ὃν ἐγκρατῶς τοιχωρυχοῦντα καὶ κλέπτοντα ἔσκωψε Δημοσθένης τὸ Μὴ θαυμάζετε, ὦ Ἀθηναῖοι, Χαλκοῦς κλέπτας, εἰ τοὺς παρ' ὑμῖν πλινθίνους οἴκους διορύττουσιν. [5]

Frag 13 62 Eustathius ad Iliad. p. 1243, 19. Δημοσθένης ἔφη τὸν κόλακα τοῦτο διαφέρειν τοῦ κόρακος, ὅτι ὁ μὲν ζῶντας, ὁ δὲ νεκροὺς ἐσθίει.

Frag 13 63 Antonius Mel. p. 58 tur.

Eulogikon public reading copy · View original HTML at eulogikon.org